ροντα διδάσκειν τοὺς πολίτας ἥκιστα γίγνεσθαι βιαίους,
εἰδότας ὅτι τῇ μὲν βίᾳ πρόσεισιν ἔχθραι καὶ κίνδυνοι, διὰ
δὲ τοῦ πείθειν ἀκινδύνως τε καὶ μετὰ φιλίας ταὐτὰ γίγνεται.
οἱ μὲν γὰρ βιασθέντες ὡς ἀφαιρεθέντες μισοῦσιν, οἱ δὲ
πεισθέντες ὡς κεχαρισμένοι φιλοῦσιν. οὔκουν τῶν φρόνη-
σιν ἀσκούντων τὸ βιάζεσθαι, ἀλλὰ τῶν ἰσχὺν ἄνευ γνώμης
ἐχόντων τὰ τοιαῦτα πράττειν ἐστίν. ἀλλὰ μὴν καὶ συμ- 11
μάχων ὁ μὲν βιάζεσθαι τολμῶν δέοιτ᾽ ἂν οὐκ ὀλίγων, ὁ δὲ
πείθειν δυνάμενος οὐδενός· καὶ γὰρ μόνος ἡγοῖτ᾽ ἂν δύνασθαι
πείθειν. καὶ φονεύειν δὲ τοῖς τοιούτοις ἥκιστα συμβαίνει·
τίς γὰρ ἀποκτεῖναί τινα βούλοιτ᾽ ἂν μᾶλλον ἢ ζῶντι πειθομένῳ
χρῆσθαι;

᾽Αλλ᾽ ἔφη γε ὁ κατήγορος, Σωκράτει ὁμιλητὰ γενομένω 12
Κριτίας τε καὶ ᾽Αλκιβιάδης πλεῖστα κακὰ τὴν πόλιν ἐποιη-
σάτην. Κριτίας μὲν γὰρ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πάντων
πλεονεκτίστατός τε καὶ βιαιότατος ἐγένετο, ᾽Αλκιβιάδης δὲ
αὖ τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέστατός τε καὶ
ὑβριστότατος. ἐγὼ δ᾽, εἰ μέν τι κακὸν ἐκείνω τὴν πόλιν 13
ἐποιησάτην, οὐκ ἀπολογήσομαι· τὴν δὲ πρὸς Σωκράτην
συνουσίαν αὐτοῖν ὡς ἐγένετο διηγήσομαι. ἐγενέσθην μὲν 14
γὰρ δὴ τὼ ἄνδρε τούτω φύσει φιλοτιμοτάτω πάντων ᾽Αθη-
ναίων, βουλομένω τε πάντα δι᾽ ἑαυτῶν πράττεσθαι καὶ πάντων
ὀνομαστοτάτω γενέσθαι. ᾔδεσαν δὲ Σωκράτην ἀπ᾽ ἐλαχίστων
μὲν χρημάτων αὐταρκέστατα ζῶντα, τῶν ἡδονῶν δὲ πασῶν
ἐγκρατέστατον ὄντα, τοῖς δὲ διαλεγομένοις αὐτῷ πᾶσι χρώ-
μενον ἐν τοῖς λόγοις ὅπως βούλοιτο. ταῦτα δὲ ὁρῶντε καὶ 15
ὄντε οἵω προειρήσθον, πότερόν τις αὐτὼ φῇ τοῦ βίου τοῦ
Σωκράτους ἐπιθυμήσαντε καὶ τῆς σωφροσύνης, ἣν ἐκεῖνος
εἶχεν, ὀρέξασθαι τῆς ὁμιλίας αὐτοῦ, ἢ νομίσαντε, εἰ ὁμιλη-
σαίτην ἐκείνῳ, γενέσθαι ἂν ἱκανωτάτω λέγειν τε καὶ πράττειν;
ἐγὼ μὲν γὰρ ἡγοῦμαι, θεοῦ διδόντος αὐτοῖν ἢ ζῆν ὅλον τὸν 16